Κυριεύω, ἡγεμονεύω, δυναστεύω, κρατέω τὸ κυριεύω, impero,
ἀμελέω, negligo, ὀλιγωρέω, ἀντὶ καταφρονῶ, despicio, sperno,
parvi pendo, negligo, φροντίζω, σῶ, studeo, cogito,
καὶ ἐκφροντίζω σου, καὶ σε πολλάκις.

## Ἐξαίρεσις.

primus

Τὸ βασιλεύω καὶ αἰτιατικῇ λαμβάνεται ἀντὶ τοῦ βασιλέα α'
ποιεῖν παρὰ τῇ θείᾳ γραφῇ· οἷον βασιλεύω σε, δηλονότι
βασιλέα σε ποιῶ, ὡσαύτως καὶ δεσπόζω σε, καὶ κυριεύω σε
ἀντὶ δεσπότην, καὶ κύριόν σε καθίστω.

Τὸ κρατέω, ῶ, μετὰ μὲν γενικῆς ἀντὶ κυριεύω, μετὰ δὲ αἰτιατι= β'
κῆς, ἀντὶ νικῶ. οἷον κρατῶ σε.

Τὸ κατηγορῶ μετὰ μὲν γενικῆς μόνης ἀντὶ τοῦ μέμφομαι, γ'
ψέγω, ἀγορεύω κατά τινος, reprehendo, μετὰ δὲ γενικῆς καὶ
ἄλλης γενικῆς τοῦ ἁμαρτήματος, ἢ ἀντὶ τῆς γενικῆς τοῦ
ἁμαρτήματος, μετὰ αἰτιατικῆς, σημαίνει τὸ αἰτιῶμαι, ἐγκαλῶ,
accuso, ὡσαύτως καὶ reprehendo, μέμφομαι. ζήτει περὶ
τούτου κεφαλαίῳ τῷ ὅπου ἡ σημείωσις α'.

## Περὶ τοῦ δ'ου εἴδους.

Τὸ δ'ον εἶδος τῶν ἐνεργητικῶν ἀπαιτεῖ πρὸ ἑαυτοῦ ὀνομαστικὴν
δρῶσαν, καὶ μεθ' αὐτὸ αἰτιατικὴν ἔμψυχον πάσχουσαν,
μεθ' ἣν ἑτέραν αἰτιατικὴν ἄψυχον· οἷον διδάσκω σε γραμ=
ματικήν, καὶ κζ' κεφαλαίῳ ματθ: ἐξέδυσαν αὐτὸν τὴν χλα=
μύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ.
Ἀπαιτέω, ῶ, repeto, iterum peto, et id quod meum